ιε΄.

Ὅταν ἄρξηταί τις αἰσθάνεσθαι πλουσίως τῆς ἀγάπης τοῦ θεοῦ, τότε ἄρχεται ἐν αἰσθήσει πνεύματος καὶ τὸν πλησίον ἀγαπᾶν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη περὶ ἧς πᾶσαι αἱ γραφαὶ διαλέγονται. Ἡ γὰρ κατὰ σάρκα φιλία εὐχερῶς ἄγαν διαλύεται βραχείας τινὸς εὑρεθείσης αἰτίας· αἰσθήσει γὰρ οὐ δέδεται πνεύματος. Διὰ τοῦτο οὖν, κἂν συμβῇ τινα παροξυσμὸν γενέσθαι ἐπὶ τῆς ἐνεργουμένης ὑπὸ τοῦ θεοῦ ψυχῆς, οὐ λύεται παρ᾽ αὐτῇ ὁ δεσμὸς τῆς ἀγάπης· τῇ γὰρ θέρμῃ τῆς ἀγάπης τοῦ θεοῦ ἀναζωπυροῦσα ἑαυτὴν εἰς τὸ ἀγαθὸν ἐπανακαλεῖται θᾶττον καὶ μετὰ πολλῆς χαρᾶς τὴν τοῦ πλησίου ἀγάπην, κἂν μεγάλως ὑπ᾽ αὐτοῦ ἢ καθύβρισται ἢ ἐζημίωται. Ἐν γὰρ τῇ γλυκύτητι τοῦ θεοῦ τὸ πικρὸν πάντως ἀναλίσκει τῆς ἔριδος.

ις΄.

Οὐδεὶς δύναται ἀγαπῆσαι τὸν θεὸν ἐν αἰσθήσει τῆς καρδίας, μὴ πρότερον φοβηθεὶς αὐτὸν ἐν ὅλῃ τῇ καρδίᾳ· διὰ γὰρ τῆς ἐνεργείας τοῦ φόβου ἁγνιζομένη καὶ ἁπαλυνομένη ὥσπερ ἡ ψυχὴ εἰς ἀγάπην ἐνεργουμένην ἔρχεται. Οὐκ ἂν δέ τις εἰς φόβον ὅλως ἔλθοι τοῦ θεοῦ τῷ εἰρημένῳ τρόπῳ, εἰ μὴ πασῶν τῶν βιωτικῶν ἔξω γένηται φροντίδων· ὅτε γὰρ ἐν ἡσυχίᾳ πολλῇ καὶ ἀμεριμνίᾳ γένηται ὁ νοῦς, τότε αὐτῷ ὀχλεῖ ὁ φόβος τοῦ θεοῦ καθαρίζων αὐτὸν ἐν αἰσθήσει πολλῇ ἀπὸ πάσης τῆς